# TEZAUR LITURGIC

## 29 MAI/11 IUNIE
## +IOIL FRAGKAKOS, MITROPOLITUL EDESSEI

# SLUJBA
## SF.IERARH-MĂRTURISITOR
# LUCA VOINO-IASENEŢKI,
## ARHIEPISCOPUL SIMFEROPOLULUI

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ ΙΑ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ
# Μνήμη του εν Αγίοις Πατρός ημών Λουκά του ιατρού και ομολογητού, Αρχιεπισκόπου Συμφερουπόλεως και Κριμαίας του Ρώσου
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Μητροπολίτου Εδέσσης Ιωήλ Φραγκάκου**

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις το Κύριε, εκέκραξα, ιστώμεν στίχους στ' και ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'. Των ουρανίων ταγμάτων.

Τον αρχιθύτην Κυρίου, πιστόν ακέστορα, Λουκάν τον θεοφόρον, της Ρωσίας τον γόνον, φιλάγιοι τιμήσωμεν ευσεβώς, επαινούντες τοις άσμασι, μνήμην αυτού την αγίαν, και θαυμαστήν, πολιτείαν και τα θαύματα.

Συμφερουπόλεως όντως, ποιμήν πανάριστος, και πάσης της Ρωσίας, ιατρός νοσημάτων, ταις θείαις ενεργείαις αναδειχθείς, τον Χριστόν ωμολόγησας, εν φυλακαίς, εξορίαις, και τοις διωγμοίς, τοις σοις λόγοις και τοις θαύμασι.

Της Εκκλησίας το δόγμα, στερρώς εκήρυξας, αρχιερεύ Κυρίου, προ αθέων βημάτων, και ήσχυνας την φάλαγγα των εχθρών, εδαφίσας τα άπρεπα, της ασεβείας εντάλματα, κραταιώς, σοφισθείς τη θεία χάριτι.

Ήχος ο αυτός. Πανεύφημοι μάρτυρες.

Εικόνα την θείαν της μητρός, του Κυρίου έθηκας, προ οφθαλμών σου πανεύφημε, λαμβάνων δύναμιν, εξ αυτής και θάρσος, εν ταις εγχειρίσεσι, Λουκά αρχιερέων το κόσμημα, διο την ίασιν, αρωγή της θείας χάριτος, τοις νοσούσι, παρείχες και πάσχουσιν.

Εκ τόπου εις τόπον μεταβάς, Ιεράρχα άγιε, δια Χριστόν ως ανέστιος, ουδόλως έπτηξας, των αθέων δόλον, και θυμόν τον άλογον, ουδέ των ψευδαδέλφων κακότητα, αλλά στερρότατα, την Ορθόδοξον εστήριξας, Εκκλησίαν, εν λόγοις και πράξεσι.

Τα σα θεία λείψανα Λουκά, εν Ρωσία ένδοξε, και εν Ελλάδι δωρήματα, πιστοίς προχέουσι, και αρρωστημάτων, παύουσιν αλγήματα, δαιμόνων αναιρούσι την δύναμιν, και ως πολύκρουνος, πάτερ βρύσις καταρδεύουσιν, Εκκλησίας, Χριστού τα πληρώματα.

Δόξα. Ήχος πλ. β'. Ιεραρχών την καλλονήν.

Ιεραρχών την καλλονήν, και ιατρών το κλέος, την πηγήν των θαυμάτων, και του Χριστού ομολογητήν τον νέον, από καρδίας συμφώνως, εγκωμιάσωμεν λέγοντες· Χαίροις της Ρωσίας δένδρον, αειθαλές και πολύκαρπον, το διαθρέψαν τους πιστούς αρκούντως, εν τοις εσχάτοις χρόνοις, της δεινής αθεΐας· Χαίροις της ιατρείας θεράπον περίδοξε, ο πολλούς εκ θανάτου αφαρπάσας, τη ιατρική σου ικανότητι, και τη θεία νεύσει, του ζωοποιού Αγίου Πνεύματος·

χαίροις Αρχιερέων κόσμε, Συμφερουπόλεως καύχημα, ο επωμάδιον βαστάσας, τον Σταυρόν των θλίψεων, και τα ονείδη του Χριστού, ον καθικέτευε ταις πρεσβείαις σου, Λουκά αξιάγαστε, ελεηθήναι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον. Ο αυτός.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου, τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι’ υμάς ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος. Φως ιλαρόν.

Το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα.

Μνήμη δικαίου μετ  εγκωμίων, και ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ος εύρε σοφίαν, και θνητός, ος είδε φρόνησιν. Κρείσσον γαρ αυτήν εμπορεύεσθαι, ή χρυσίου και αργυρίου θησαυρούς. Τιμιωτέρα δε εστι λίθων πολυτελών παν δε τίμιον ουκ άξιον αυτής εστιν. Εκ γαρ του στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δε και έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ω

τέκνα, σεμνά γαρ ερώ και μακάριος άνθρωπος, ος τας εμάς οδούς φυλάξει. Αι γαρ έξοδοί μου, έξοδοι ζωής, και ετοιμάζεται θέλησις παρά Κυρίου. Δια τούτο παρακαλώ υμάς και προΐεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν και γνώσιν και έννοιαν, εγώ επεκαλεσάμην. Εμή βουλή και ασφάλεια, εμή φρόνησις, εμή δε ισχύς, Εγώ τους εμέ φιλούντας αγαπώ, οι δε εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δε απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου και πάλιν· σεμνά γαρ ερώ, και ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δε εναντίον εμού χείλη ψευδή. Μετά δικαιοσύνης πάντα τα ρήματα του στόματός μου· ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοις νοούσι, και ορθά τοις ευρίσκουσι γνώσιν. Διδάσκω γαρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, και πλησθήσεσθε Πνεύματος.

## Σοφίας Σολομώντος το Ανάγνωσμα.

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού βασκανία γαρ

φαυλότητος, αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς αρεστή γαρ ην Κυρίω η ψυχή αυτού δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες, και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

## Σοφίας Σολομώντος το Ανάγνωσμα.

Δικαίων ψυχαί εν χειρί Θεού και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι και ελογίσθη κάκωσις η έξοδος αυτών και η αφ’ ημών πορεία σύντριμμα, οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν η ελπίς αυτών αθανασίας πλήρης και ολίγα παιδευθέντες μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς αξίους εαυτού ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι και ως σπινθήρες εν καλάμη διαδραμούνται κρινούσιν έθνη και κρατήσουσι λαών και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ’ αυτώ συνήσουσιν αλήθειαν και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού και επισκοπή εν τοις εκλεκτοίς αυτού.

# Εις την Λιτήν, Ιδιόμελα.

## Ήχος α'.

Ευφραίνου εν Κυρίω, η πασών των Ρωσιών επικράτεια, ως επ εσχάτων των χρόνων εκφύσασα, Ιεράρχην μέγιστον, και άριστον ιατρών, ψυχών τε και σωμάτων, τον Αρχιεπίσκοπον Συμφερουπόλεως, Λουκάν τον πανθαύμαστον. Ούτος γαρ εκ νεότητος, σοφισθείς ταις του Θεού εννοίαις, του κόσμου δοξάριον, και των ανθρώπων την εύκλειαν, ανδρικώς απετάξατο, και από πόλεως εις πόλιν διαμείβων, των δογμάτων της πίστεως την αλήθειαν, ευθαρσώς ενώπιον των αθέων, τοις θεοπνεύστοις αυτού ρήμασι, και βίου ορθότητι εβεβαίωσεν· Όθεν ως κανών ακριβέστατος, ηθών και της ευσεβείας χρηματίσας, το ζην θεοφιλώς εξεμέτρησεν, εν ουρανοίς μεταβάς ο πανάριστος, εν οις μετά των αγίων πρεσβεύει, υπέρ των ψυχών ημών.

## Ήχος β'.

Η εδραία σου πίστις και ένστασις, τας των τυραννούντων ανοίας διέσεισε, σχισματικών τον χειμάρρουν εξήρανε, και της Εκκλησίας τα πλήθη εθάρρυνεν εν Τασκένδη γαρ και Μόσχα, εν Σιβηρία και Αρκτικώ ωκεανώ, και εν πλείστοις τόποις, ως κακούργος δεινώς εκακοπάθησας εν φυλακαίς, βαστάζων τα στίγματα, και αναπληρών τα υστερήματα, Χριστού του Θεού ημών, ον μη

διαλίπης, άγιε Λουκά καθικετεύων, υπέρ ημών των τιμώντων σε.

Ήχος γ'.

Ιερωσύνης στολαίς ηγλαϊσμένος, και ωραϊσμένος τοις στίγμασι τοις θείοις, Αρχιερεύ Συμφερουπόλεως, Λουκά την σην ποίμνην εξέθρεψας, εις νομάς σωτηρίας, εκδιώκων τους θυμοφθόρους λύκους, εκ της αυλής των προβάτων. Όθεν ο των όλων Δεσπότης, της ομολογίας τον στέφανον, νομίμως απέδωκέ σοι, και των ζωηφόρων οστέων σου την θήκην, πηγήν ιατρείας, πάσιν ανέδειξε ποικίλας γαρ ιάται ασθενείας, και δύναμιν δωρείται, τοις ευλαβώς αυτήν ασπαζομένοις, και αιτούσι την θείαν πρεσβείαν σου.

Ήχος δ'.

Υπέρ τα σαρκικά τεκνία σου, τους κατά πνεύμα υιούς σου, και θυγατέρας ηγάπησας Τις ημάς χωρίσει, ανέκραζες, από της αγάπης του Χριστού, θλίψις ή στενοχωρία, ή διωγμός ή λιμός ή γυμνότης, ή κίνδυνος ή μάχαιρα; Πάντα ταύτα υπερέβης, τη δυνάμει του αγαπήσαντος ημάς. Διο νυν εν ουρανώ συν αυτώ υπάρχων, Ιεράρχα Λουκά, ταις ικετηρίαις σου, μνήσθητι και ημών, των επί γης αγωνιζομένων, και αιτουμένων δια σου, το μέγα έλεος.

Δόξα. Ήχος ο αυτός.

Χαίρει μεν η φιλτάτη σου πατρίς, την λάρνακα έχουσα των αγίων λειψάνων σου, χαίρει δε και η του Σαγματά Μονή, ως κεκτημένη τμήμα αυτών

πολυτίμητον, εξ ου αρυόμεθα, των νόσων θεραπείαν, ψυχής την ευτονίαν, υγείας απόλαυσιν, πίστεως στηριγμόν, υπομονήν εν ταις θλίψεσι, χαράν εν τοις πειρασμοίς, και πάσαν αγαθοδωρίαν, του Δεσπότου Χριστού, προς ον δεόμεθα, ταις λιταίς σου πάτερ Λουκά, τύχοιμεν σωτηρίας, εν τη ημέρα της κρίσεως.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων, τους δούλους σου φύλαττε, Ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, την ελπίδα των ψυχών ημών.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.
Ήχος πλ. α'. Χαίροις ασκητικών.

Χαίροις ο της Ρωσίας βλαστός, των ακεστόρων ευεργέτης ο μέγιστος, και πάσης της Εκκλησίας, αρχιερεύς ο σεπτός, των αθεϊζόντων η κατάπτωσις, δαιμόνων αντίπαλος, ασθενών επιστήριγμα, πεπλανημένων, η ταχεία ανάνηψις, η φανέρωσις, των χαρίτων του Πνεύματος, λύχνος ο φαεινότατος, ο φέγγων τοις πέρασι, και τοις ανθρώποις δεικνύων, οδόν Χριστού την επέραστον, Λουκά θεηγόρε, των πιστών παρηγορία, και αγαλλίαμα.

Στιχ. Οι ιερείς σου, Κύριε, ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.

Ηύφρανας τον λαόν του Θεού, διδασκαλίαις και σημείοις πανάριστε, του σώματος ιατρείαις, και φωταυγείαις ψυχής, εν τοις χρόνοις όντως του αλάστορος, ως πέτρα γαρ πίστεως, του Χριστού η

ακλόνητος, της ασεβείας, επαφρίζοντα κύματα, πάτερ έστησας, ευτολμία του Πνεύματος. Όθεν σε μακαρίζομεν, Λουκά θεοστήρικτε, και κατά χρέος τιμώμεν, την σην επέτειον άσμασιν, αιτούντες λιταίς σου, νοσημάτων θεραπείαν, και την ειρήνευσιν.

Στιχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Πάσαν την επί γης βιοτήν, Λουκά διήλθες, εν ανάγκαις και θλίψεσιν, εν ψύχει και εξορίαις, εν φυλακαίς και δεινοίς, την στενήν οδεύων τρίβον άγιε, αλλά την αντέκτησιν, Ιεράρχα απέλαβες, του Παραδείσου, δια βάρος αοίδιμε, ο εβάστασας, της ημέρας και καύσωνα. Έτι δε και τα λείψανα, τα σα επληρώθησαν, υπερφυών χαρισμάτων, και ακενώτου χρηστότητος, προς πάντας ανθρώπους, τους τιμώντας σου τα θεία, σοφέ μνημόσυνα.

Δόξα. Ήχος πλ. δ'.

Ολικώς αγαπήσας, το ακρότατον των εφετών, κατεφρόνησας των ρεόντων τον επίκηρον πλούτον, και βασιλεύσας κατά παθών φθοροποιών, την χάριν εκομίσω της ιατρείας, των νόσων της ψυχής τε και σώματος. Διο υψώθης ως κυπάρισσος εν αγάπη, εξήνθησας ως φοίνιξ εν ελπίδι, και ηυξήθης κατά Χριστόν καθάπερ κέδρος, εν τη καθ’ υμάς γενεά των πονηρών ημερών, εξαγοραζόμενος τον καιρόν. Αλλ’ Αρχιερεύ άγιε Λουκά, βράβευσον τας αιτήσεις, των προς σε δεομένων, και δίδου ταις ευχαίς σου, αυτοίς τα πρόσφορα.

Και νυν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Νυν απολύεις,

Τρισάγιον και τα Απολυτίκια.

Ήχος πλ. α'. Τον συνάναρχον Λόγον.

Ιατρόν και ποιμένα, Λουκάν τιμήσωμεν, Συμφερουπόλεως ποίμνης, Αρχιερέα λαμπρόν, τον βαστάσαντα Χριστού τα θεία στίγματα, τας εξορίας τα δεινά, εγκλεισμούς εν φυλακαίς, τας θλίψεις και τα ονείδη, τον επ' εσχάτων φανέντα, εν τη Ρωσία νέον Άγιον.

Έτερον. Ήχος γ'. Την ωραιότητα.

Τον πανσεβάσμιον, Χριστού Επίσκοπον, και θεοφώτιστον, σεμνόν ακέστορα, τον εν εσχάτοις τοις καιροίς, οφθέντα εν τη Ρωσία, και ομολογήσαντα, ευσεβείας τα δόγματα, σταθηρώς προ βήματος, των ανδρών αθεότητος, τιμήσωμεν Λουκά εκβοώντες Χαίροις θεόφρον Ιεράρχα.

Θεοτοκίον.

Σε την μεσιτεύσασαν την σωτηρίαν του γένους ημών ανυμνούμεν Θεοτόκε Παρθένε εν τη σαρκί γαρ τη εκ σου προσληφθείση, ο Υιός σου και Θεός ημών, το δια Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς εκ φθοράς ως φιλάνθρωπος.

Και Απόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α΄ Στιχολογίαν, Κάθισμα.
Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Ως άνθος ηρινόν, εν τω μέσω χειμώνος, εφύης θαυμαστώς, Ιεράρχα παμμάκαρ, ευφραίνων τα ορθόδοξα, Εκκλησίας πληρώματα όθεν σήμερον, την σεβασμίαν σου μνήμην, εορτάζομεν, σοφέ Λουκά Επισκόπων, το θείον εντρύφημα.

Θεοτοκίον.

Τεκούσα Λυτρωτήν, τον Χριστόν Θεοτόκε, της λύμης του εχθρού, λύτρωσαί με λιταίς σου, και ίασαι τα τραύματα, της ψυχής και του σώματος, τω ελέει σου, ως ποταμός ευσπλαγχνίας, απειρόγαμε, και αγαθότητος ρείθρον, και πέλαγος χάριτος.

Μετά την β΄ Στιχολογίαν, Κάθισμα.
Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ.

Εν τη Ρωσία εν εσχάτοις τοις χρόνοις, η των λειψάνων σου πολύτιμος λάρναξ, και εν Ελλάδι τμήμα των οστέων σου, νάματα εκβλύζουσι, θεραπείας των νόσων, και αλγών πανεύφημε, Ιεράρχα ποικίλων, και ως πηγή ακένωτος Λουκά, τοις Ορθοδόξοις, την χάριν παρέχουσι.

Θεοτοκίον.

Χαίρε το τείχος Θεοτόκε Παρθένε, το ακλινέστατον ημών των μερόπων, χαίρε του κόσμου δύναμις αήττητος, χαίρε η βοήθεια, των εις σε ελπιζόντων,

χαίρε πάντων άνασσα, των υμνούντων σε Κόρη, χαίρε νυμφών Χριστού ο ευπρεπής, χαίρε δοχείον, χαράς φωτεινότατον.

Μετά τον Πολυέλεον, Κάθισμα.
Ήχος πλ. δ΄. Την Σοφίαν και Λόγον.

Την πτωχείαν ως σύζυγον ειληφώς, εν τω βίω σου πλήθη του σου λαού, τοις θείοις σου ρήμασι, και τροφαίς όντως έθρεψας, ως σιτοδότης μέγας, σαρκός και του Πνεύματος, εν τη Ρωσία πάση, Λουκά αξιάγαστε· Όθεν οικονόμος, των πιστών ανεδείχθης, ιθύνων την ποίμνην σου, ασφαλώς προς τα κρείττονα, και προς όρμον σωτήριον. Αλλ' άνερ θεοφώτιστε νυν, ταις λιταίς σου Χριστόν καθικέτευε, υπέρ των πίστει τιμώντων, την αγίαν μνήμην σου.

Θεοτοκίον.

Αληθή Θεοτόκον οι γηγενείς, εγνωκότες σε Μήτερ ικετικώς, φωνούμεν και κράζομεν, χαίρε νύμφη ανύμφευτε, η τον Θεόν αφράστως, εν μήτρα χωρήσασα, και της αράς την λύπην, βροτών αφανίσασα· Όθεν τους σους δούλους, εν δεινοίς πεπτωκότας, ανύψωσον τάχιστα, ταις οξείαις πρεσβείαις σου, προς Υιόν σου και Κύριον συ γαρ απορουμένων τροφός, και νοσούντων άκος και συμπάθεια, και των καμνόντων υπάρχεις, βακτηρία Δέσποινα.

Οι Αναβαθμοί· το α΄ Αντίφωνον του δ΄ ήχου.

Προκείμενον.

Οι ιερείς σου, Κύριε, ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.

Στιχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Ευαγγέλιον.Εκ του κατά Ιωάννην (ι΄ 1-9).

(Ζήτει τη ΙΓ΄ Νοεμβρίου, εις τον Όρθρον).

Είπεν ο Κύριος προς τους εληλυθότας προς αυτόν Ιουδαίους· Αμήν αμήν λέγω υμίν, ο μη εισερχόμενος δια της θύρας εις την αυλήν των προβάτων, αλλά αναβαίνων αλλαχόθεν, εκείνος κλέπτης εστί και ληστής ο δε εισερχόμενος δια της θύρας ποιμήν εστι των προβάτων. Τούτω ο θυρωρός ανοίγει, και τα πρόβατα της φωνής αυτού ακούει, και τα ίδια πρόβατα καλεί κατ' όνομα και εξάγει αυτά. Και όταν τα ίδια πρόβατα εκβάλη, έμπροσθεν αυτών πορεύεται, και τα πρόβατα αυτώ ακολουθεί, ότι οίδασι την φωνήν αυτού αλλοτρίω δε ου μη ακολουθήσωσιν, αλλά φεύξονται απ' αυτού, ότι ουκ οίδασι των αλλοτρίων την φωνήν. Ταύτην την παροιμίαν είπεν αυτοίς ο Ιησούς εκείνοι δε ουκ έγνωσαν τίνα ην α ελάλει αυτοίς. Είπεν ουν πάλιν αυτοίς ο Ιησούς αμήν αμήν λέγω υμίν ότι εγώ ειμι η θύρα των προβάτων. Πάντες όσοι ήλθον προ εμού, κλέπται εισί και λησταί· αλλ' ουκ ήκουσαν αυτών τα πρόβατα. Εγώ ειμι η θύρα· δι' εμού εάν τις εισέλθη, σωθήσεται, και εισελεύσεται και εξελεύσεται, και νομήν ευρήσει.

Ο Ν΄ Ψαλμός.

Δόξα.

Ταις του Ιεράρχου, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στιχ. Ελέησόν με, ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Ιδιόμελον. Ήχος πλ. β΄.

Εξεχύθη θεόφρον, η ιατρική σου χάρις, επί πάσαν την Ρωσίαν, και γέγονας ιατρός των νοσούντων, άμα δε και χρηματίσας, Αρχιερεύς εννομώτατος, Συμφερουπόλεως και Κριμαίας, και άλλων πόλεων, ώφθης ποιμενάρχης άριστος, των λογικών προβάτων, της Εκκλησίας του Χριστού. Το γαρ θεόσοφόν σου στόμα, ως ποταμός ανεπίσχετος, τας των ανθρώπων αρούρας κατήρδευσεν, αυξήσας τα εν αυταίς, του Ευαγγελίου αγαθά σπέρματα. Και νυν εν τοις ουρανοίς, μετά των Αγίων συνδιαιτώμενος, πρέσβευε απαύστως, δωρηθήναι ημίν το μέγα έλεος.

Είτα οι Κανόνες της Θεοτόκου και του Αγίου.

Κανών της Θεοτόκου φέρων τήνδε ακροστιχίδα· *Θεοτόκε μνήσθητι των τιμώντων σε. Ιωήλ.*

Ωδή α΄. Ήχος δ΄. Ανοίξω το στόμα μου.

Θαρρών τω ελέει σου, και τη πολλή ευσπλαγχνία σου, υμνώ τα σημεία σου, α καθ' εκάστην ποιείς, τοις τιμώσι σου, τον τόκον Θεοτόκε, και πάσας τας χάριτας, τας σας Θεόνυμφε.

Ελπίς ακαταίσχυντος, και των πιστών η βοήθεια, και όπλον υπάρχουσα, τους σους ικέτας αγνή, νυν περίζωσον, τη θεία σου δυνάμει, εχθρόν τον αλάστορα, ίνα νικήσωσιν.

Οι δούλοι σου Δέσποινα, εκτός σου άλλην βοήθειαν, ουκ έχοντες σπεύδουσι, ταις σαις αγίαις λιταίς, και ικέσιον, προσφέρουσιν ωδήν σοι, δεινής κατακρίσεως, φυγείν ελπίζοντες.

Την νύκτα εσκέδασας, της αθεΐας τω τόκω σου, τον κόσμον πυρσεύουσα, της αληθείας αυγαίς, και νυκτίμορφον, του σκότους τον προστάτην, τελέως συνέτριψας, αειμακάριστε.

Κανών του αγίου ου η ακροστιχίς· *Νόσου οχληράς Λουκά δος μοι λύσιν. Ιωήλ.*

Ήχος και Ειρμός ο αυτός.

Νεόφωτον ήλιον, της εν Βορρά Εκκλησίας σου, προάγομαι Δέσποτα, υμνήσαι άσμασι, και την χάριν σου, αιτούμαι την μεγίστην, ως αν μέλψω κάλλιστα, Λουκά τα θαύματα.

Ο βίος σου κάλλιστος, τα σα σημεία πανθαύμαστα, η χάρις σου άφθονος, το τέλος πάτερ σεμνόν, επεγνώσθησαν, εν τόποις της Ρωσίας, υπό των ειδότων σε, Λουκά αοίδιμε.

Σοφίας το τέμενος, της αγιότητος άγαλμα, της πίστεως πρόμαχος, Αρχιερέων κανών, αξιότιμε, Λουκά εν τη Ρωσία, εδείχθης τη χάριτι, του θείου Πνεύματος.

Θεοτοκίον.

Ο μήτραν οικήσας σου, δι’ αγαθότητα άπειρον, το βρότειον φύραμα, ηράσθη τούτο σφοδρώς, και εδόξασε, Παρθένε Θεοτόκε, ψυχών ιλαστήριον, και πάντων άνασσα.

Ωδή γ΄. Τους σους υμνολόγους.

Οδόν σωτηρίας η τεκούσα, οδόν εις ευθείαν εντολών, του σου Υιού οδήγησον, καμέ τον αμαρτάνοντα, και προς ζωήν την κρείττονα, ταις σαις λιταίς με ανάγαγε.

Κρηπίς ασφαλής και σωτηρία, μεσίτις ημών των γηγενών, υπάρχουσα επάκουσον, των επικαλουμένων σε, και εκ κινδύνων λύτρωσαι, πάντας ημάς Παναμώμητε.

Ελέησον πάντας τους ανθρώπους, και σώσον αυτούς εκ των χειρών, του δράκοντος Πανάχραντε, τη κραταιά δυνάμει σου, των δυσμενών σκεδάζουσα, επιβουλάς και νοήματα.

Ματαίαν βουλήν των κακοτρόπων, διάλυσον τάχιστα λιταίς, και δίδου μοι την άνεσιν, την ψυχικήν Απείρανδρε, ίνα υμνώ το πάντιμον, βροτών Σωτήρος το όνομα.

Του Αγίου ο αυτός.

Υψώθης εν γη υπό ανθρώπων, αλλ' έμεινας άτυφος Λουκά, ζηλώσας τα ακίνητα, και τω Θεώ απέδωκας, τα σα αξιοτίμητα, άγιε Πάτερ χαρίσματα.

Χριστόν αγαπήσας παιδιόθεν, προείλες την έγγαμον ζωήν, Λουκά σεβασμιώτατε, και γέγονας το πρότυπον, του γάμου πάτερ, άριστον, τη καθαρά πολιτεία σου.

Ανέθρεψας πάντα τα σα τέκνα, Λουκά εν παιδεία ακριβή, και φόβω του Κυρίου σου, της ευσεβείας σπέρματα, εν ταις ψυχαίς πανόλβιε, αυτών βαλών τη θελήσει σου.

Θεοτοκίον.

Λειμών ευανθέστατε χαρίτων, του Πνεύματος Κόρη Μαριάμ, τον ζόφον της αγνοίας μου, και του νοός την σύγχυσιν, ταις σαις ευχαίς καταύγασον, όπως υμνώ σε Θεόνυμφε.

Κάθισμα.
Ήχος δ΄. Ταχύ προκατάλαβε.

Σοφίαν την θύραθεν, επιγινώσκων καλώς, ηθέλησας άγιε, την ιεράν του Χριστού, γνωρίσαι αλήθειαν, όθεν μετ' επιστήμης, και συνάρσει τη θεία, έγνωκας

Ιεράρχα, του Θεού τας εννοίας, και ώφθης των απορρήτων, Λουκά μύστης άριστος. Θεοτοκίον.

Μαστίζειν ου παύεται, το συνειδός μου αγνή, πολλά γαρ αδόκιμα, και απρεπή συνεχώς, ο άθλιος έπραξα, όθεν απάλλαξόν με, ταις λιταίς σου εκ τούτων, δος μοι δε και δακρύων, ποταμούς ίνα κλαύσω, πάθη μου τα συμβάντα, Παρθένε Θεόνυμφε.

## Ωδή δ΄. Ο καθήμενος εν δόξη.

Νουνεχώς προς σε Παρθένε, καταφεύγω ο δείλαιος, και αιτούμαι πάντα, ταις ικετηρίαις σου εύφημα, τα αγαθά του Θεού και τα ευφρόσυνα, και σωτηρία, ψυχής ομού και του σώματος.

Ηδονών ο μέγας κλύδων, επιμόνως ταράσσει με, αλλά μετανοίας, χάρισαι εμοί τα δωρήματα, και προς λιμένα Χριστού Θεομακάριτε, τον γαλήνιον, νουν μου τον άστατον όρμισον.

Στενωθείς εν ταις παγίσι, του αρχαίου αλάστορος, συ ως πλατυτέρα, γης και ουρανού ελευθέρωσον, εκ των αλγών της ψυχής μου αδιάφθορε, και υπάνοιξον, θύραν μοί αναψύξεως.

Θρηνωδών επικαλούμαι, την πολλήν ευσπλαγχνίαν σου, ίνα εκ μελλούσης, κρίσεως ρυσθώ και ετάσεως, της φοβεράς του Υιού σου Παναμώμητε, και σωθήσομαι, εκ των δεινών της κολάσεως.

Του Αγίου. Ο αυτός.

Ευχαρίστως ανεγράφης, εν τη δέλτω πανεύφημε, των θυτών Κυρίου, λάμπων ως αδάμας πολύεδρος, και υπέρ πάντων ετέλεις την αναίμακτον, και ζωήρρυτον, Χριστού θυσίαν ως άγγελος.

Προ βημάτων των αθέων, ευθαρσώς έστης άγιε, και εν παρρησία τους δεδιωμένους ακέστορας, ως ιατρός και ως θύτης υπερήσπισας, την αλήθειαν, Λουκά κηρύσσων τοις λόγοις σου.

Η εικών της Θεοτόκου, ως πηγή αγιάσματος, θάρσους και ελπίδος, εν τω χειρουργείω εκρέματο, εξ ης ελάμβανες Πάτερ θείαν δύναμιν, και τα τραύματα, των ασθενών εθεράπευες.

Η εικών της Θεοτόκου, ως πηγή αγιάσματος, θάρσους και ελπίδος, εν τω χειρουργείω εκρέματο, εξ ης ελάμβανες Πάτερ θείαν δύναμιν, και τα τραύματα, των ασθενών εθεράπευες.

Θεοτοκίον.

Σωστικαίς σου ενεργείαις, εκ πολλών περιστάσεων, τον Αρχιερέα, της Συμφερουπόλεως έσωσας, διο το σον εκμαγείον κατησπάζετο, Αειπάρθενε, Λουκάς εν πάσαις ταις θλίψεσι.

Ωδή ε΄. Εξέστη τα σύμπαντα.

Η μόνη πανύμνητε, το βρότειον ανέπλασας, γένος εμπεσόν εις αμαρτίας, συ γαρ τεκούσα, ζωής τον

Κύριον, εν τη ση νηδύϊ θαυμαστώς, πάντες ελυτρώθημεν, της αράς του προπάτορος.

Τον όντως υπέρθεον, Δεσπότην σου και Κύριον, Μήτερ ταις πρεσβείαις σου μη παύση, εκδυσωπούσα, τα αμπλακήματα, και τους λογισμούς τους εμπαθείς, της ψυχής μου τάχιστα, διαλύσαι πανύμνητε.

Ισχύς μου και ύμνησις, ελπίς και αγαλλίαμα, κράτος βακτηρία και προστάτις, Υπεραγία και Παντευλόγητε, λύτρωσαι ημάς εξ ορατών, και των αοράτων τε, δυσμενών ταις πρεσβείαις σου.

Τον βότρυν εκφύσασα, πανάχραντε τον πέπειρον, τον εξαφανίσαντα πικρίαν, του διαβόλου και πολεμήτορος, γένος των ανθρώπων απηνώς, γλύκανον Θεόνυμφε, και ημάς τους υμνούντας σε.

Του Αγίου. Ο αυτός.

Λουκάς νέον όνομα, εν τη κουρά σου είληφας, εν τω Πεντζικέντ σημειοφόρε, και Επισκόπων, χάριν κτησάμενος, πάτερ τη επαύριον λαμπρώς, ήλθες εις τα ίδια, εν Τασκένδη ως άγγελος.

Ο ένσαρκος άγγελος, εν τη Τασκένδη γέγονας, πάσι τοις πιστοίς Λουκά παμμάκαρ, τας θλίψεις φέρων, τα ονειδίσματα, και τον ελαφρότατον ζυγόν, χαίρων του Κυρίου σου, ως ποιμήν θεοστήρικτος.

Υπέστης τα σκώμματα, εν ταις εγκλείστραις άγιε, ταις οδυνηραίς ανδρών αθέων, αλλά παμμάκαρ, Λουκά το όνομα, του παμβασιλέως Ιησού, ανδρικώ φρονήματι, και γενναίως εστήριξας.

Θεοτοκίον.

Κροτούντες Πανάμωμε, τας χείρας οι οικέται σου, μέλπομεν εν ύμνοις γηθοσύνοις, σε την αγίαν, πάσης της κτίσεως, την υψηλοτέραν ουρανών, όρος αλατόμητον, και αγγέλων το άγαλμα.

Ωδή στ΄. Την θείαν ταύτην.

Ωρών και χρόνων τον αίτιον, τον όντα προ αιώνων κυήσασα, τον απερίγραπτον, και ακατάληπτον Κύριον, ον Μήτερ υπέρ πάντων, αεί ικέτευε.

Νεκρώσαι θέλω το φρόνημα, σαρκός της πολυμόχθου το άστατον, και την αθάνατον, ζωοποιήσαι πρεσβείαις σου, ψυχήν μου Θεοτόκε, Παντοβασίλισσα.

Το κύδος χαίρε το τίμιον, ημών των Ορθοδόξων Πανάχραντε, χαίρε η δύναμις, πολεμουμένων εκάστοτε, υπό πικρών δαιμόνων, του πολεμήτορος.

Ιδών ο Πλάστης ολλύμενον, το πλάσμα ο χερσίν εποιήσατο, εν σοι εσκήνωσεν, αναλαβών το ανθρώπινον, ίνα θεώση Μήτερ, ημών το φύραμα.

Του Αγίου. Ο αυτός.

Ατίμως πάτερ πανέντιμε, εν τόποις φυλακών διετέλεσας, Λουκά την άνωθεν, θείαν ροπήν εφιέμενος, ην ο Χριστός παρέχει, πιστοίς τοις πάσχουσι.

Διδάσκων πάτερ τοις τρόποις σου, κακούργων κακοτρόπων τον όμιλον, εν τη πορεία σου, προς Σιβηρίαν επαίδευσας, ως ακριβής αλείπτης, της θείας πίστεως.

Οδόν Χριστού την επίπονον, στενήν και τεθλιμμένην διώδευσας, εν εξορίαις σου, και μαρτυρίου τα στίγματα, εν τη σαρκί σου Πάτερ, Λουκά εβάστασας.

Θεοτοκίον.

Σε Μήτερ Πάναγνε Δέσποινα, ελέους την πηγήν και της χάριτος, καλώς γινώσκοντες, εν τη ημέρα της κρίσεως, υπέρ ημών δυσώπει, προς τον Φιλάνθρωπον.

Κοντάκιον.

Ήχος πλ. δ΄. Τη υπερμάχω.

Συμφερουπόλεως Λουκάν τον αρχιποίμενα, και ιατρόν τον επιστήμονα τον άριστον, οι φιλάγιοι υμνήσωμεν εγκαρδίως· εν Ρωσία γαρ βιώσας ώσπερ άγγελος, ωμολόγησε Χριστού το θείον όνομα· διο κράζομεν· Χαίροις πάτερ αοίδιμε.

## Ο Οίκος.

Άγγελος πάτερ ώφθης, επ' εσχάτων των χρόνων, εν χώρα δυστυχούντων ανθρώπων (εκ γ΄)· βιοτεύσας ενθέως εν γη, Ιεράρχα Λουκά όντως το πρότυπον, λαού και κλήρου γέγονας, διόπερ σοι εβόων ταύτα·

Χαίρε το εύχος πάσης Ρωσίας·

Χαίρε το σκεύος της ευσεβείας.

Χαίρε ποιμανσίας ανθρώπων το μίμημα·

Χαίρε ιατρείας αλγούντων το καύχημα.

Χαίρε ότι ωμολόγησας τον Χριστόν ανδροπρεπώς·

Χαίρε ότι εθεράπευες αρρωστήματα βροτών.

Χαίρε ότι εκ παίδων ηλικίας εκλάμπεις·

Χαίρε ότι εγγάμων συζυγίας ηράσθης.

Χαίρε τεκνίων των σων το φέγγισμα·

Χαίρε πιστών το άγιον κλέϊσμα.

Χαίρε σεμνών Επισκόπων ο κόσμος·

Χαίρε ηθών ουρανίων ο τόμος.

Χαίροις Πάτερ αοίδιμε.

## Συναξάριον.

Τη ΙΑ΄ του αυτού μηνός, μνήμη του εν Αγίοις πατρός ημών Λουκά του νέου, του ιατρού και ομολογητού, Αρχιεπισκόπου Συμφερουπόλεως και Κριμαίας, του Ρώσου, εν έτει 1961 εν ειρήνη τελειωθέντος.

Στίχοι.

Λουκάς Συμφερουπόλεως αρχιθύτης,
και ιατρός σωμάτων τιμάσθω ύμνοις.
Ενδεκάτη Λουκάς θάνε ιητήρ και θύτης πρώτος.

Ωδή ζ΄. Ουκ ελάτρευσαν.

Μεμολύσμεθα, τω λύθρω της κακότητος, μνησικακίας τε, των της σαρκός ηδονών, και πάσης φαυλότητος, Μήτερ ανύμφευτε, διο πρόφθασον, τω ραντισμώ ελέους σου, αποπλύναι τους σους δούλους.

Ω Θεόνυμφε, Παρθένε παμμακάριστε, Θεογεννήτρια, των γηγενών η τροφός, Αγγέλων το καύχημα, τραύμα του δράκοντος, αναδέδειξαι, τεκούσα θείω Πνεύματι, τον Υιόν σου και Δεσπότην.

Νυξ συνέχει με, πολλών αμπλακημάτων μου, Αειμακάριστε, και των δαιμόνων εσμός, δεινώς εκταράσσει με, τοις μηχανήμασι, διο δέομαι, απαλλαγήναι τάχιστα, ταις αγίαις σου πρεσβείαις.
Τον πανώλεθρον, ιόν της παραβάσεως, ον πριν εξήμεσεν, επί την φύσιν ημών, αλάστωρ μισόθεος, και όφις δόλιος, απεμάκρυνας, τω γλυκασμώ σου Πάναγνε, εκ του γένους των ανθρώπων.

Του Αγίου. Ο αυτός.

Μεμαρτύρηκας, ευτόλμως εν ταις πόλεσι, της εξορίας σου, πίστιν Χριστού του Θεού, και είρηκας πάντοτε,

Λουκά αοίδιμε Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Ολομέτωπον, εδέχθης όντως πόλεμον, και την εχθρότητα, εκ των αθέων ανδρών, θυτών ψευδαδέλφων τε, και των οικείων σου, αλλ' εχώρησας, περιχαρής εις σκάμματα, της καλής ομολογίας.

Ιασάμενος, πολλούς Λουκά Επίσκοπε, ταις ενεργείαις σου, εκ δυσιάτων αλγών, ψυχής τε και σώματος, έχαιρον ψάλλοντες· Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Θεοτοκίον.

Λύτρον γέγονε, ο σος Υιός Πανύμνητε, ημίν τοις δούλοις σου, και εκ φθοράς των κακών, ερρύσατο άπαντας, τους πίστει μέλποντας· Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

## Ωδή η΄. Παίδας ευαγείς.

Ώφθης η χαρά τοις αλγουμένοις, και λύπης των πρωτοπλάστων το συμπέρασμα, συ γαρ απεκύησας, υπέρ φύσιν Άχραντε, της χαρμονής τον αίτιον, προς ον κραυγάζομεν· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε εις πάντας τους αιώνας.

Νεύρωσον το άτονον ψυχής μου, εν τάχει ταις ζωηφόροις ικεσίαις σου, κείμαι γαρ ο δείλαιος, εν τω λάκκω Δέσποινα, των χαλεπών πταισμάτων μου, και

ανακράζω σοι, μη παύση δυσωπούσα λιταίς σου, τον Υιόν σου δούναι, εμοί την σωτηρίαν.

Στήσον ταις αγίαις σου πρεσβείαις, τον σάλον των εννοιών του πολεμήτορος, του αεί ταράσσοντος, νουν και την καρδίαν μου, ταις φαντασίαις Δέσποινα, και το κλυδώνιον, βλασφήμων λογισμών απιστίας, παύσον και γαλήνην, παράσχου μοι την θείαν.

Εν ετάσει Κρίσεως μελλούσης, εν η και παραστησόμεθα οι δούλοι σου, έρημοι των πράξεων, των καλών αμόλυντε, εν τω αστέκτω βήματι, του Παντοκράτορος, βοήθησον ημάς ταις λιταίς σου, ίνα λυτρωθώμεν, πυρός του αιωνίου.

Του Αγίου. Ο αυτός.

Ύδρευμα χαρίτων ιατρείας, η λάρναξ των σων οστών η πολυτίμητος, τοις ανθρώποις γέγονεν, επ’ εσχάτων άγιε, και θεραπεύει χάρισι, Λουκά τους άδοντας· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Στήριγμα ημών των σε τιμώντων, εν μάνδρα του Σαγματίου τα μερίσματα, των σεπτών λειψάνων σου, πάτερ ανεδείχθησαν, και αγιάζει άπαντας, Λουκά τους λέγοντας· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Ίαμα καμνόντων η σορός σου, εν πόλει Συμφερουπόλεως αοίδιμε, δαιμονώντων κάθαρσις, των στενόντων κούφισμα, και των πιστών βοήθεια,

βοώντων άγιε· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον.

Νυν από καρδίας σοι το Χαίρε, αγγέλου του Γαβριήλ Θεοχαρίτωτε, μέλπομεν οι δούλοι σου, και αιτούμεν λέγοντες, ταις σαις ευχαίς ικέτευε, τον θείον τόκον σου, ρυσθήναι εκ πολλών παθημάτων, του δεινού βελίαρ, και δράκοντος αρχαίου.

Ωδή θ΄. Άπας γηγενής.

Ίλεως γενού, τω σω δούλω Δέσποινα, ταις δυσωπείαις σου, και το επικείμενον, της αθυμίας νέφος διάλυσον, όπως υμνώ την χάριν σου, την απροσμάχητον, και κραυγάζω· Χαίροις απειρόγαμε, Ορθοδόξων λαών το διάσωσμα.

Ώσπερ τα λεπτά, της χήρας τους ύμνους μου, δέξαι Πανύμνητε, και ταις σαις δεήσεσι, εκ του ταράχου της απογνώσεως, και πολλαπλών σφαλμάτων μου, ταχύ εξάρπασον, την ψυχήν μου, Μήτερ Θεονύμφευτε, των μερόπων γλυκύ παραμύθιον.

Η των οικτιρμών, Πηγήν αναβλύσασα, την πολυχεύμονα, άρουραν ψυχών ημών, την ξηρανθείσαν τοις αμπλακήμασι, τω υετώ Πανάχραντε, των χαρισμάτων σου, και λιτών σου, ράνον και κατάστησον, του Χριστού καρποφόρον γεώργιον.

Λύσιν της αράς, του γένους σου ήνεγκας, τω σω κυήματι, και ως δώρον είληφας, εις τους αιώνας αειμακάριστε, των γηγενών τον έπαινον, και τα εγκώμια, ως προείπε, τω αγίω Πνεύματι, κινουμένη η γλώσσα σου Πάναγνε.

Του Αγίου. Ο αυτός.

Ίθυνας σοφώς, τον σον βίον άγιε, προς τα ουράνια, έχων κατά νουν Λουκά, της βασιλείας Χριστού τα άφθαρτα, διο και τα επίκηρα, και όντως ρέοντα, απεστράφης, και καλώς εμίσησας, Ιεράρχα Χριστού αξιότιμε.

Ώσπερ ποταμός, τοις ρείθροις της χάριτος, την Συμφερούπολιν, και Ρωσίαν άπασαν, εν τοις εσχάτοις, χρόνοις επότισας, ως ιατρός γαρ άριστος, τα αρρωστήματα, των σωμάτων, και ως θύτης πρώτιστος, αμαρτίας Λουκά εθεράπευσας.

Η του Σαγματά, Μονή επαγάλλεται, Λουκά Επίσκοπε, ως γαρ δώρον πάντιμον, των σων λειψάνων σχούσα μερίσματα, πανηγυρίζει σήμερον, την θείαν μνήμην σου, και γεραίρει, τα σα πολυάριθμα, εν Ρωσία και ώδε ιάματα.

Θεοτοκίον.

Λάμπει σου αγνή, το κάλλος ως ήλιος, Θεογεννήτρια, και αυγάζει άπαντα, αΰλων νόων φύλα αμύθητα, και των βροτών συστήματα, τα ευσεβέστατα, και βοώντα·

Χαίροις παμμακάριστε, Ουρανού τε και γης εγκαλλώπισμα.

Εξαποστειλάρια.

Τοις μαθηταίς συνέλθωμεν.

Λουκάν τον νέον άγιον, και αρχιθύτην Κυρίου, και της Ρωσίας κόσμημα, ιατρών ποδηγέτην, Συμφερουπόλεως κλέος, Σαγματά τον επόπτην, τον ένδοξον Ανάργυρον, συζυγίας την δόξαν και μοναστών, θαυμαστόν υπόδειγμα και προστάτην, τοις ιεροίς μελίσμασιν, ανευφημήσωμεν πάντες.

Θεοτοκίον.

Χριστού ναός ο έμψυχος, και το κατάσκιον όρος, και η λαβίς τον άνθρακα, ενεγκούσα τω κόσμω, η πορφυρίς Βασιλέως, και ουράνιος πύλη, και βάσις, στάσις, κίνησις, προφητών και μαρτύρων και ασκητών, ανεδείχθης Δέσποινα Θεοτόκε, διο μη παύση πάντοτε, διαφυλάττουσα πάντας.

Εις τους Αίνους, ιστώμεν στίχους δ΄ και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος πλ. δ΄. Ω του παραδόξου θαύματος.

Πάτερ Λουκά αξιάγαστε, ο των αθέων εσμός, αληθείας τα δόγματα, ευμενώς μη φέροντες, κατά σου εκινήθησαν, επιβουλάς τε και ονειδίσματα, και λοιδωρίας μυρίας ράπτοντες· ω της ενστάσεως, της στερράς σου άγιε, δι’ ης ιστόν, κακουργίας έλυσας, και αθεότητος.

Πάτερ Λουκά πανσεβάσμιε, Αρχιερέων στολήν, ενδυθείς το φιλόχριστον, της Ρωσίας πλήρωμα, προς Χριστόν καθωδηγήσας, Ορθοδοξίας τοις παραγγέλμασι, και πολιτείασου τη ορθότητι· ω της συνέσεως, και πολλής σου χάριτος, δι’ ων σοφέ, της σης ποίμνης πρόβατα, εποδηγέτησας.

Πάτερ Ιεράρχα άγιε, μετ’ επιστήμης πολλούς, των νοσούντων εκούφισας, φανερώσας άπασι, της σοφίας σου μέγεθος, και μετά θάνατον τα οστέα σου, της ιατρείας τα ρείθρα βλύζουσιν· ω της σης λάρνακος, των λειψάνων πάντιμε, δι’ ων Λουκά, αφειδώς ιάματα, ημίν μετέδωκας.

Άγιε Λουκά μακάριε, εν τη Μονή Σαγματά, ως χρυσίον πολύτιμον, των οστών σου τμήματα, οι Πατέρες κατέχουσι· διο την μνήμην την σην γεραίρουσιν, εκδιηγούμενοι τα σημεία σου· ω των θαυμάτων σου, δι’ ων δίδως ίασιν, ημίν αεί, ως ακέστωρ άριστος, του Παντοκράτορος.

Δόξα. Ήχος πλ. α΄.

Άγιε Πάτερ, εις πάσαν την Ρωσίαν εξήλθεν ο φθόγγος των κατορθωμάτων σου. Την στερράν σου γαρ ομολογίαν της πίστεως, Ιεράρχα θεόσοφε, άγγελοι ακούσαντες επεκρότησαν, διάβολος μετά δαιμόνων ετραυματίσθη, και ο Κύριος ταύτην, εν ουρανοίς επεγράψατο. Τη δε ιατρική σου τέχνη, άνθρωποι νοσούντες ιάθησαν, των ιατρών οι όμιλοι εδιδάχθησαν, και των αθέων φαλαγγαρχίαι

κατεπλάγησαν. Διο εν χαρά την μνήμην σου άγοντες, Λουκά παναοίδιμε, ικετικώς βοώμεν σοι· μη παύση, καθικετεύων ταις σαις πρεσβείαις, Χριστόν τον Θεόν ημών, ελεηθήναι τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Δοξολογία μεγάλη και Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά, οι Μακαρισμοί και εκ των Κανόνων του Αγίου η γ´ και στ´ ωδή.

Απόστολος του Αγίου Ιωάννου του Χρυσοστόμου (ζήτει τη ιγ´ του Νοεμβρίου μηνός).

Ευαγγέλιον του Αγίου και Ευαγγελιστού Λουκά (ζήτει τούτο τη ιη´ Οκτωβρίου μηνός).

Κοινωνικόν.

Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις της Ρωσίας νέος βλαστός, και των ακεστόρων ο προστάτης και βοηθός, χαίροις Εκκλησίας Χριστού ο Ιεράρχης, Λουκά ποιμήν θεόφρον, αξιοτίμητε.

